# 24 ΙΟΥΝΙΟΥ

† Γενέθλιον τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Παναγιώτου νεομάρτυρος τοῦ Καισαρέως (†1765).

* * * * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἄρχεται ὁ Ἀναγνώστης ἀναγινώσκων τὸν Προοιμιακὸν Ψαλμόν, λέγων οὕτω·

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ΄ (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε

σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα. Καὶ νῦν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου,
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

* * *

Μετὰ τὸν Προοιμιακὸν Ψαλμόν, καὶ τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ, εἰς τό, Κύριε, ἐκέκραξα, ἱστῶμεν Στίχους η΄, καὶ ψάλλομεν Στιχηρὰ Ἰδιόμελα τοῦ Προδρόμου, δευτεροῦντες τὸ α΄.

Ἦχος Πα




κου ου ου σο ο ον μου ει σα κου σο ον μου ου Κυ υ υ
ρι ι ι ι ε Κυ ρι ε ε κε κρα α ξα προ ος σε
ει σα α α κου σο ο ο ον μου προ σχες τη φω νη η
η τη ης δε η σε ω ω ω ως μου εν τω κε κρα
γε ναι αι με προ ο ος σε ε ει σα α κου σο ον μου ου
Κυ υ ρι ι ε ε
Κα τευ θυν θη η τω η προ ο ο σευ χη η η
μου ως θυ μι α α α μα α ε νω πι ο ο ο
ον σου ε πα αρ σι ι ις τω ων χει ει ει ρω
ω ω ω ων μου θυ σι ι α ε ε ε σπε ρι ι ι
νη η ει σα α α α κου σο ον μου ου Κυ υ ρι ι
ε ε
Ἡ Στιχολογία.
Θου Κυ υ ρι ε φυ λα κην τω στο μα τι ι μου
και θυ υ ραν πε ρι ο χης πε ρι τα χει λη μου


Μ η εκ κλι νης την καρ δι αν μου εις λο γους πο νη
ρι ι ας του προ φα σι ζεσ θαι προ φα α σεις εν α μαρ τι
ι αις
Σ υν αν θρω ποις ερ γα ζο με νοις την α νο μι ι αν
και ου μη συν δυ α σω με τα των ε κλε κτων αυ των
Π αι δε ευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε ε λαι ον δε α μαρ τω λου μη λι πα
να α τω την κε φα λη ην μου
Ο τι ε τι και η προ σευ χη μου εν ταις ευ δο
κι αις αυ των κα τε πο θη σαν ε χο με να πε τρας οι
κρι ται αυ των
Α κου σον ται τα ρη μα τα α μου ο τι η δυν θη
σαν ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε
σκορ πι σθη τα ο στα αυ των πα ρα τον Α α δην
Ο τι προς σε Κυ υ ρι ε Κυ ρι ε οι ο φθαλ μοι
οι μου ε πι σοι οι ηλ πι σα μη αν τα νε λης την ψυ χη


ην μου
Φ υ λα ξο ον με α πο πα γι ι δος ης συν ε
στη σαν το ο μοι και α πο σκαν δα λων των ερ γα ζο
με ε νων την α νο μι ι αν
Π ε σουν ται εν αμ φι βλη στρω αυ των οι α μα ρτω
λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρε
ελ θω
Φ ω νη η μου προς Κυ ρι ον ε κε κρα ξα φω νη
η μου προς Κυ υ ρι ον ε δε η η θην
Ε κ χε ω ε νω πι ον αυ του την δε η σι ιν
μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Ε ν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και
συ εγνως τας τρι βους μου
Ε ν ο δω ταυ τη η ε πο ρευ ο ο μην ε κρυ
ψαν πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α α και ε

πε βλε πον και ουκ η ην ο ε πι γι νω σκων με

Α πω λε το φυ γη η απ ε μου και ουκ ε ε

στιν ο εκ ζη των την ψυ χη ην μου

Ε κε ε κρα ξα προς σε Κυ ρι ε ει ει πα συ ει

η ελ πις μου με ρις μου ει εν γη ζω ων των

Π ρο σχες προς την δε η σι ιν μου ο ο τι ε τα

πει νω θην σφο ο δρα

Ρ υ υ σαι με εκ των κα τα δι ω κον των με ο ο

τι ε κρα ται ω θη σαν υ περ ε με

Ε ξα γα γε εκ φυ λα κης την ψυ χη ην μου του

ε ξο μο λο γη σασθαι τω ο νο μα τι ι σου

Ε με υ πο με νου σι δι και οι ε ως ου αν

τα πο δω ως μοι

Ἰδιόμελα τοῦ Προδρόμου.

Ἰωάννου Μοναχοῦ.

Στίχ. α΄. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· ει σα κου σον της




Ὁ αὐτός. Τὸ αὐτό.

Στίχ. β΄. Γενηθήτω τά ὦτά σου προσέχοντα






Λύει τοῦ Ζαχαρίου τὴν σιωπήν, ...

Ὁ αὐτός.

Στίχ. γ΄. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται;




Ἀνατολίου. Ὁ αὐτός.

Στίχ. δ΄. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε·

ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου,




## Ἀνδρέου Κρήτης. Ὁ αὐτός.

Στίχ. ε΄. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας,




Ε πε φα νε ση με ε ρον ο με ε ε γα α
ας Προ ο δρο ο ο μος εξ α γο νων λα α γο
ο νων της Ε λι σα α βετ προ ο ε ε ελ
θων ο μει ει ει ζων πα α ντων τω ων Προ φη η των
Προ ο φη η της ου ε τε ρος ȣκ ε στιν ȣ δε
ε γη η η γε ε ε ερ ται ο τι τω Προ δρο
μω ω λυ υ χνω το φως α κο λȣ θει ει ει ει
το υ υ περ λα αμ προν και τη φω νη ο ο Λο
γος και τω νυμ φα γω ω ω γω ω ω ο ο νυ υ
υμ φι ι ι ι ος κα τα σκευ α ζο ντι Κυ ρι ω
λα ο ο ο ον πε ε ρι ȣ ȣ ȣ ȣ σι ι ι ι
ον και προ κα θαι ρο ντι ε πι το Πνε ευ μα δι ι α
α τȣ υ υ υ υ δα α α α το ο ος τȣ Ζα α
χα ρι ȣ ȣ ο βλα α στος και της ε ρη μȣ το ο
κα α αλ λι ι στο ο ον θρε ε ε εμ μα της με
τα νοι ας ο ο κη η η ρυξ η κα θαρ σι ι ις τω ων

αμ πλα α κη μα α α α των ο τοις εν Α δη ευ

α α γγε ε λι ζο ο ο ο με ε ε ε νος την εκ

νε κρων Α α α να στα α σιν και πρε σβε ε ευ ων

υ πε ε ερ των ψυ υ χων η μω ων

## Ὁ αὐτός.

Στίχ. Ϛʹ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ εκ πα σων των

α νο μι ι ω ων α α αυ του

Π ρο φη της και Προ δρο ο μος α πο γα στρος α νε ε

δει ει χθης τȣ Χρι στȣ ȣ ȣ Ι ι ω ω ω α

α α α αν νη σκιρ των και α γαλ λο με ε νο ο ος εν

τη η νη δυ ι ι της μη η τρος ο ρων την Βα σι

λι δα ελ θȣ σαν προς τη ην δȣ ȣ λην φε ρȣ σαν

τον α χρο ο νον και εκ Πα τρο ος α α α μη

η το ο ο ρα προς σε τον εκ της στει ει ρας και τȣ

πρε σβυ τȣ κατ ε πα γγε λι ι α αν α α να τει ει




## Ὁ αὐτός.

Στίχ. ζ'. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη,









## Ὁ αὐτός.

Στίχ. η΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου






Δόξα.

Βυζαντίου.

Ἦχος Πα






Καὶ νῦν. Ὁ αὐτός.






* * *

Εἴσοδος. Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

Φῶς ἱλαρόν. Μέλος παλαιόν, ἐξήγησις Σίμωνος Ι. Καρᾶ.

Ἦχος Δι






## Ἰωάννου Σακελλαρίδου ἐπὶ τὸ λαϊκότερον

### Ἦχος Δι






## ΤΟ ΠΡΟΚΕΙΜΕΝΟΝ

Ὁ διάκονος· Ἑσπέρας προκείμενον.

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος Νη




Στίχ. α΄. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου,









Στίχ. β΄. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια

και ευ λο γει τε ε τον Κυ ρι ον

Ι δ8 8 δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δ8 8 λοι Κυ ρι ι 8 8 8 8

## Τῇ Δευτέρᾳ ἑσπέρας.

Ἦχος Δι

Κ υ υ ρι ος ει σα κ8 σε ται μ8 εν τω

κε κρα γε ε ναι με προς αυ τον

Στίχ. α΄. Ἐν τῷ ἐπικαλεῖσθαι με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με και

ει σα κ8 σον της προ σευ χη ης μ8

Κ υ υ ρι ος ει σα κ8 σε ται μ8 εν τω

κε κρα γε ε ναι με προς αυ τον

Στίχ. β΄. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε κα τα μο νας επ ελ πι δι κα τω κι

σα ας με

Κ υ υ ρι ος ει σα κ8 σε ται αι μ8 εν τω

κε κρα γε ναι με προς αυ το ο ον

## Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος Πα

Τ ο ε λε ος σȣ Κυ ρι ε κα τα δι ω ξει με

πα σαςτας η με ραςτηςζω ης μȣ

Στίχ. α΄. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης

ε κει με κα τε σκη νω σεν

Τ ο ε λε ος σȣ Κυ ρι ε κα τα δι ω ξει με

πα σαςτας η με ραςτηςζω ης μȣ

Στίχ. β΄. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φοβηθήσομαι κακά

ο τι συ υ μετ ε μȣ ȣ ȣ ει

Τ ο ε λε ος σȣ Κυ ρι ε κα τα δι ω ξει με

πα σαςτας η με ραςτηςζω η ης μȣ ȣ ȣ

## Τῇ Τετάρτῃ ἑσπέρας.

Ἦχος Κε

Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με

και εν τη δυ να μει σȣ κρι νειςμε

Στίχ. α΄. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου ε νω τι

σαι τα ρη μα τα τȣ στο μα τοςμȣ


Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με
και εν τη δυ να μει σȣ κρι νεις με
Στίχ. β΄. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι και ο Κυ ρι ος
αν τι λη πτωρ της ψυ χης μȣ
Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με
και εν τη δυ να μει σȣ κρι νεις με ε ε ε
Τῇ Πέμπτῃ ἑσπέρας.
Ἦχος Δι
Η βο η θει α α μȣ πα ρα Κυ ρι ι ι
ȣ τȣ ποι η σαν τος τον ȣ ρα νον και την γη ην
Στίχ. α΄. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη ο θεν η ξει
η βο η θει α μȣ
Η βο η θει α α μȣ πα ρα Κυ ρι ι ι
ȣ τȣ ποι η σαν τος τον ȣ ρα νον και την γη ην
Στίχ. β΄. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ φυ λα ξει
την ψυ χην σȣ ο Κυ ρι ος




Τῇ Παρασκευῇ ἑσπέρας.

Ἦχος Γα






## ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ

Καὶ τὰ ἐφεξῆς ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα

(Κεφ. ιζ΄ 15, ιη΄ 11, κα΄ 1).

Εἶπε Κύριος ὁ Θεὸς τῷ Ἀβραάμ. Σάρα ἡ γυνή σου, οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, ἀλλὰ Σάρρα ἔσται τὸ ὄνομα αὐτῆς. Εὐλογήσω δὲ αὐτήν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον· καὶ εὐλογήσω αὐτό, καὶ ἔσται εἰς ἔθνη, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἔσονται. Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ, καὶ ἐγέλασε, καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐτοῦ, λέγων· Εἰ τῷ ἑκατονταετεῖ γεννήσεται υἱός; καὶ εἰ ἡ Σάρρα ἐνεννήκοντα ἐτῶν οὖσα τέξεται; Εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραάμ· Ναί· ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεταί σοι υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ· καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον. Ἀβραὰμ δὲ καὶ Σάρρα πρεσβύτεροι προβεβηκότες ἡμερῶν. Ἐγέλασε δὲ Σάρρα ἐν ἑαυτῇ λέγουσα· Οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου πρεσβύτερος. Καὶ εἶπε Κύριος πρὸς Ἀβραάμ· Τί ὅτι ἐγέλασε Σάρρα ἐν ἑαυτῇ λέγουσα· Ἆρά γε ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα. Μὴ ἀδυνατήσει παρὰ τῷ Θεῷ ῥῆμα; Καὶ Κύριος ἐπεσκέψατο τὴν Σάρραν, καθὰ εἶπε, καὶ ἐποίησε Κύριος τῇ Σάρρᾳ καθὰ ἐλάλησε· καὶ συλλαβοῦσα, ἔτεκε τῷ Ἀβραὰμ υἱὸν εἰς τὸ γῆρας, εἰς τὸν καιρόν, καθὰ ἐλάλησεν αὐτῷ Κύριος. Περιέτεμε δὲ Ἀβραὰμ τὸν Ἰσαὰκ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεός. Καὶ Ἀβραὰμ ἦν ἐτῶν ἑκατόν, ἡνίκα ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ. Εἶπε δὲ Σάρρα· Γέλωτά μοι ἐποίησε Κύριος· ὃς γὰρ ἂν ἀκούσῃ συγχαρεῖταί μοι. Καὶ εἶπε· Τίς ἀναγγελλεῖ τῷ Ἀβραάμ, ὅτι θηλάζει παιδίον Σάρρα, ὅτι ἔτεκον υἱὸν ἐν τῷ γήρᾳ μου! Καὶ ηὐξήθη τὸ παιδίον, καὶ ἀπεγαλακτίσθη, καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην, ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.

Κριτῶν τὸ Ἀνάγνωσμα

(Κεφ. ιγ΄ 2).

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἀνὴρ ἐκ τῆς φυλῆς τοῦ Δάν, καὶ ὄνομα αὐτῷ Μανωέ· καὶ ἡ γυνὴ αὐτοῦ στεῖρα, καὶ οὐκ ἔτικτε. Καὶ ὤφθη Ἄγγελος Κυρίου πρὸς τὴν γυναῖκα, καὶ εἶπε πρὸς αὐτήν· Ἰδοὺ σὺ στεῖρα, καὶ οὐ τέτοκας, καὶ συλλήψῃ υἱόν. Καὶ νῦν φύλαξαι δή, καὶ μὴ πίῃς οἶνον καὶ μέθυσμα, καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον. Ὅτι ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ υἱόν, καὶ σίδηρος ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀναβήσεται, ὅτι

Ναζὶρ Θεοῦ ἔσται τὸ παιδάριον ἀπὸ τῆς κοιλίας. Καὶ εἰσῆλθεν ἡ γυνή, καὶ εἶπε τῷ ἀνδρὶ αὐτῆς, λέγουσα. Ἄνθρωπος Θεοῦ ἦλθε πρός με, καὶ εἶδος αὐτοῦ ὡς εἶδος Ἀγγέλου Θεοῦ, φοβερὸν σφόδρα· καὶ εἶπε μοι· Ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ υἱόν· καὶ νῦν μὴ πίῃς οἶνον καὶ μέθυσμα καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον, ὅτι Θεοῦ ἅγιον ἔσται τὸ παιδάριον ἀπὸ γαστρός, ἕως ἡμέρας θανάτου αὐτοῦ. Καὶ προσηύξατο Μανωὲ πρὸς Κύριον, καὶ εἶπεν· Ἐν ἐμοί, Κύριε, τὸν ἄνθρωπον τοῦ Θεοῦ, ὃν ἀπέστειλας, ἐλθέτω δὴ ἔτι πρὸς ἡμᾶς, καὶ συμβιβασάτω ἡμᾶς, τί ποιήσωμεν τῷ παιδίῳ τῷ τικτομένῳ. Ἦλθε δὲ ὁ Ἄγγελος πρὸς Μανωέ, καὶ εἶπεν· Ἀπὸ πάντων, ὧν εἶπον πρὸς τὴν γυναῖκα φυλάξεται. Ἀπὸ παντός, ὃ ἐκπορεύεται ἐξ ἀμπέλου, οὐ φάγεται· καὶ οἶνον καὶ μέθυσμα μὴ πιέτω. Καὶ εἶπε Μανωὲ πρὸς τὸν Ἄγγελον Κυρίου· Τί τὸ ὄνομά σοι; ὅτι ἔλθοι τὸ ῥῆμά σου, καὶ δοξάσομέν σε. Καὶ εἶπεν αὐτῷ ὁ Ἄγγελος Κυρίου. Εἰς τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; καὶ αὐτό ἐστι θαυμαστόν. Καὶ οὐ προσέθηκεν ἔτι ὁ Ἄγγελος Κυρίου ὀφθῆναι πρὸς Μανωέ, καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα
(Κεφ. μ΄ 1, 9. μα΄ 17. με΄ 8. μη΄ 20. ιδ΄ 1).

Τάδε λέγει Κύριος· Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός. Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ, παρακαλέσατε αὐτήν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυται αὐτῆς ἡ ἁμαρτία· ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται πάντα τά σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας· καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ· Ἐπ᾽ ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε. Ἐγὼ Κύριος ὁ Θεός, ἐγὼ ἐπακούσομαι, ὁ Θεὸς Ἰσραήλ, καὶ οὐκ ἐγκαταλείψω αὐτούς. Ἀλλὰ ἀνοίξω ἐπὶ τῶν ὀρέων ποταμούς, καὶ ἐν μέσῳ πεδίων πηγάς· ποιήσω τὴν ἔρημον εἰς ἕλη, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. Εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην· ἀνατειλάτω ἡ γῆ, καὶ βλαστησάτω ἔλεος, καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα. Φωνὴν εὐφροσύνης ἀναγγείλατε καὶ ἀκουστὸν γενέσθω τοῦτο· ἀπαγγείλατε ἕως ἐσχάτου τῆς γῆς, λέγετε, ἐρρύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακώβ. Καὶ ἐὰν διψήσωσι δι᾽ ἐρήμου, ἄξει αὐτούς, ὕδωρ ἐκ πέτρας ἐξάξει αὐτοῖς. Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον

καὶ βόησον ἡ οὐκ ὠδίνουσα, * ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

* * *

## Η ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ

Εἶτα ὁ διάκονος (ἢ ὁ ἱερεὺς) τὴν ἐκτενῆ δέησιν, ὁ δὲ λαὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον (τρίς).

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου (τῆς ἁγίας μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

* * *

Ὁ προεστώς ἢ ὁ ἀναγνώστης·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.
Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ ἱερεὺς ἐκφώνως·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.
Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·
Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιόμελα.

Ψαλλομένων τῶν ἰδιομέλων τῆς λιτῆς, ὁ ἱερεὺς λαβὼν τὴν εἰκόνα τῆς ἀγομένης ἑορτῆς, προηγουμένου τοῦ διακόνου μετὰ τοῦ θυμιατοῦ, ἔρχεται εἰς τὴν λιτὴν (ἐσωνάρθηκα) καὶ ἀποθέτει τὴν εἰκόνα εἰς τὸ τετραπόδιον· καὶ ὁ διάκονος (ἢ ὁ ἱερεὺς) θυμιᾷ αὐτὴν σταυροειδῶς καὶ τὸν λαόν.

Ἦχος Πα




ος ο ο λυ υ χνος ο τȣ Κυ ρι ȣ Προ ο ο ο
δρο ο ο ο μος ο χρι στο μαρ τυ ρη η τος πρω ω τος
τω ων Προ φη η των τας υ περ τȣ κο σμȣ πρε σβει αι αις
ποι ȣ ȣ ȣ ȣ με ε ε ε νος ε ξαι ρε τως την ποι
μνη ην σȣ ι κε τε ευ ε τȣ ȣ σω ζε ε σθαι α α α α
τρω ω ω ω τον
Πα
Κ η ρυξ γε γο ο νας τȣ α μνȣ τȣ Θε ȣ και αι Λο
ο ο γȣ Ι ω αν νη Προ φη τα α και Προ ο ο ο
δρο ο ο ο με προ φη τευ εις τα μελ λο ο ντα και
προ λε γεις τοις πε ε ε ρα α α α σιν ι δε
ο α μνο ο ος τȣ Θε ε ȣ ο αι αι αι αι αι ρω ω
ων τȣ κο ο ο ο σμȣ ȣ ȣ την α μαρ τι ι ι ι
αν και πα ρε χων τοις πα σι το με ε γα ε ε
ε ε λε ε ε ε ος

## Δόξα.

Ἦχος Πα




Εἰς τὸ Γενέσιον τοῦ Προδρόμου,
εἰς τὴν Λιτήν, Δόξα. Ἰωάννου Β. Ἀρβανίτη.




γε ε ρȣ ȣ σι ι ας την σι ω ω πην ως κλοι
ον α πο θε με ε νος και ως γε εν νη η τω ωρ
της φω ω νης προ φη τευ ει ει σα φε ε ε ε
στα α α α τα συ υ υ υ γαρ παι δι ι ι ι
ον Προ φη η τη ης Υ ψι ι ι στȣ ȣ κλη η η
θη η η η η ση και προ πο ο ρε ευ ση ο ο
δȣ ȣς ε ε τοι μα α α α α σαι αι α α
αυ τω δι ο ο ο ο Ἰο ο ο ο ο Α
γγε ε λε Προ ο φη η η η η τα Α πο ο ο
στο ο ο ο λε στρα τι ω ω ω ω τα α Προ
δρο με ε ε Βα πτι ι στα και κη η η ρυ υξ
της με ε τα α α νοι οι οι οι οι ας και ο
δη η γε ε ε ε τȣ φω ω το ος ως φω νη η
τȣ ȣ ȣ Λο ο ο ο ο γȣ α παυ στως πρε σβευ ε
υ υ περ η η μων των πι στως σȣ τε λȣ ντων το ο
μνη μο ο συ νον
Ἐτονίσθη δ΄ Μαΐου ͵βκβ΄, ΙΑ.

Καὶ νῦν. Θεοτοκίον.

Ἦχος Πα




* * *

Εἰς τὸν Στίχον, Στιχηρὰ Ἰδιόμελα.

Ἦχος Δι



ο ξον ψαλ μοις και υ μνοις και ω δαις πνευ μα τι και αι

αι αις ευ φη μη η η σω ω ω ω μεν βο ω ω ντε ες

προς α αυ τον Βα πτι στα τȣ Σω τη ρος και αι αι Προ

δρο ο με ως ε χων παρ ρη σι αν εν τη σε πτη σȣ ȣ ȣ

γε εν νη η η σει δυ σω πη η σον Χρι ι στον δω

ρη θη ναι ει ρη νην τω ω κο ο σμω και ταις ψυ χαις

η μων το με ε γα α ε ε ε λε ε ε ε ος

Στίχ. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν

λυ τρω σιν τω λα ω ω ω αυ τȣ

Δι

Η λ θεν η φω νη της χα ρι τος τȣ ȣ Λο ο

γȣ ο τȣ η λι ι ι ȣ κη η ρυξ γεν νη θει ει

ει εις ση η με ε ε ρον εκ στει ρας της α γο ο

νȣ εξ ε ε ε πα α α γγε λι ι ας Ι ω α

α α αν νης ο Προ ο ο ο δρο ο ο ο μος λα

οι α α α γα α αλ λι ι α α α σθε ηλ θεν ευ

τρε πι σαι την ο δον η μιν της σω ω ω τη ρι ι ας

ον και σκιρ τη σα α α ας προ σε κυ υ υ νη η η η

σεν εν τη νη δυ ϊ ο ντα α της μη η τρος τον

α μνον τον αι αι αι αι ρο ο ο ο ντα την α μαρ

τι ι α α αν τȣ κο ο σμȣ και πα ρε χο ντα η

μι ιν το με γα ε ε ε λε ε ε ε ος

Στίχ. Καὶ σύ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ε τοι μα σαι

ο δȣ ȣ ȣς αυ τȣ

Ο εκ κοι λι ας μη τρος α γι α σθεις και της προ

φη τει ας δε ξα α με ε νος το πλη η η ρω ω ω

ω μα ση με ρον εκ στει ει ρας γε γε ε εν νη ται

τȣ Κυ ρι ȣ την ε λευ σιν κη ρυ υ υ υτ τω

ων τρα α α νως με τα α α νο ει ει τε η

γγι κε γαρ η βα σι λει α των ȣ ȣ ȣ

ρα α α α νων

Δόξα.

Κασσίας Μοναχῆς.

Ἦχος πλ. δ' Νη






Καὶ νῦν. Ὁ αὐτός.






* * *

Μετὰ τὰ ἀπόστιχα λέγεται ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ ἱερέως ἡ Ὠδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β΄ 29-32)

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ ἀπολυτίκια.

Τοῦ Προδρόμου.

Ἦχος Δι




Δόξα. Καὶ νῦν. Θεοτοκίον.






* * *

## Η ΑΠΟΛΥΣΙΣ

Μετὰ τὰ ἀπολυτίκια, ἐὰν μὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ἐὰν δὲ δὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Εὐλόγησον.

Ὁ ἱερεύς·

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Ὁ ἱερεὺς· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα. Καὶ νῦν. Κύριε, ἐλέησον γʹ. Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ ὁ ἱερεὺς τὴν μεγάλην ἀπόλυσιν·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, **οὗ τὸ γενέθλιον ἑορτάζομεν**, τῶν ἁγίων

ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ λαός· Ἀμήν.

* * * * *